ἀνέβη καὶ ὑπέστρεψεν ἰδὼν τὸ ὕψος· ὀνειδιζόμενος δ' εἶπεν 'οὐκ ᾤμαν τὰν εὐχὰν ἄλλας μείζονος εὐχᾶς δεῖσθαι.'

71. Ἄλλος ἐπὶ παρατάξεως τῷ πολεμίῳ τὸ ξίφος κατα- E
φέρειν μέλλων, ἐπεὶ τὸ ἀνακλητικὸν ἐσήμηνεν, οὐκέτι κατήνεγκε· πυθομένου δέ τινος, διὰ τί τὸν ἐχθρὸν ἔχων ὑποχείριον οὐκ ἀπέκτεινεν, 'ὅτι' ἔφη 'βέλτιόν ἐστι τοῦ φονεύειν τὸ πείθεσθαι τῷ ἄρχοντι.'

72. Λάκωνί τινι ἡττωμένῳ ἐν Ὀλυμπίᾳ πάλην εἶπέ τις 'ὁ ἀνταγωνιστής, ὦ Λάκων, ἐγένετό σου κρείσσων·' 'οὐ μὲν οὖν' ἔφη 'ἀλλὰ καββαλικώτερος.'